# Piccolo Agone Placidiano

## XIII edizione

**13 aprile 2024**

LICEO STATALE
DANTE ALIGHIERI
RAVENNA

### I SEZIONE (IV Ginnasio)

**Il papiro: una pianta davvero versatile**

*Allievo di Aristotele e suo successore a capo del Liceo, Teofrasto di Ereso (371-287 a. C.) ne proseguì anche la vastità di interessi filosofici e scientifici. Di particolare interesse in quest'ultimo campo è il suo contributo alla botanica attraverso una* Storia delle piante *in 10 libri, l'ultimo dei quali perduto, e* Sulle cause delle piante.

Φύεται δὲ ὁ πάπυρος οὐκ ἐν βάθει[1] τοῦ ὕδατος[2] ἀλλ' ἐν δύο πήχεσιν[3]. Φύεται δὲ ὑπὲρ τῆς γῆς αὐτῆς, πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖσα λεπτὰς καὶ πυκνάς, ἄνω δὲ τοὺς παπύρους καλουμένους[4], τριγώνους. Χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων οὐ μόνον τῷ κάειν ἀλλὰ καὶ **τῷ** σκεύη[5] ἄλλα ποιεῖν ἐξ αὐτῶν παντοδαπά. Αὐτὸς δὲ ὁ πάπυρος πρὸς πλεῖστα **χρήσιμος**· καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ, καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι καὶ ψιάθους καὶ ἐσθῆτά τινα καὶ στρωμνὰς καὶ σχοινία. Καὶ ἐμφανέστατα[6] δὴ **τοῖς ἔξω** τὰ βιβλία· μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ γίνεται. **Μασῶνται** γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ τὸν πάπυρον καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι, τὸ δὲ **μάσημα** ἐκβάλλουσιν. Ὁ μὲν οὖν πάπυρος ταύτας παρέχεται τὰς χρείας.

TEOFRASTO, Περὶ φυτῶν ἱστορία.

[1] dativo singolare di βάθος, -εος (-ους), τό.
[2] genitivo singolare di ὕδωρ, -ατος, τό.
[3] dativo plurale di πῆχυς, -εως, ὁ.
[4] καλουμένους: "propriamente detti".
[5] accusativo plurale di σκεῦος, -εος (-ους), τό.
[6] nomin. plur. neutro del superlativo di ἐμφανής, -ές.

**Questionario**

A. Aiutandoti con le informazioni sul cubito presenti nel vocabolario, di quanti cm risulta l'acqua in cui cresce il papiro, secondo Teofrasto?
B. τῷ: che termine del testo regge?
C. χρήσιμος: che verbo è sottinteso? Scrivilo nella forma richiesta.
D. τοῖς ἔξω: a quali persone genericamente si riferisce Teofrasto con quest'espressione?
E. Μασῶνται: scrivi la forma non contratta.
F. μάσημα: declina interamente questo sostantivo.
G. Sulla base delle tue conoscenze illustra l'importanza di questa pianta nella storia antica.

LICEO STATALE
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## XIII edizione

**13 aprile 2024**

## II SEZIONE (V Ginnasio)

### Augusto ricorda i suoi successi militari

*Come ricorda Svetonio, Augusto redasse un* Index rerum a se gestarum *inciso in colonne di bronzo antistanti il suo mausoleo. Il testo, più noto come* Res gestae Divi Augusti, *fu riprodotto in tutto il territorio dell'impero in iscrizioni celebrative, e ci è pervenuto pressoché integralmente nell'originale latino in un'epigrafe che riveste l'esterno di un tempio destinato al culto imperiale nell'attuale Ankara* (monumentum Ancyranum), *ma ne fu realizzata anche una versione greca di cui sono stati trovati frammenti ad Apollonia e a Sardi.*

Τοὺς τὸν πατέρα μου **φονεύσαντας** ἐξώρισα κρίσεσιν ἐνδίκοις **τειμωρησάμενος** αὐτῶν τὸ ἀσέβημα καὶ μετὰ ταῦτα αὐτοὺς πόλεμον ἐπιφέροντας τῇ πατρίδι δὶς **ἐνείκησα** παρατάξει. Πολέμους καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἐμφυλίους καὶ ὀθνείους ἐν ὅλῃ τῇ οἰκουμένῃ πολλάκις ἐποίησα, **νεικήσας** τε πάντων ἐφεισάμην τῶν ἱκετῶν **πολειτῶν**. Τὰ ἔθνη, οἷς ἀσφαλὲς ἦν συνγνώμην ἔχειν, ἔσωσα μᾶλλον ἢ ἐξέκοψα.

Μυριάδες Ῥωμαίων στρατεύσασαι ὑπὸ τὸν ὅρκον τὸν ἐμὸν ἐγένοντο ἐνγὺς[1] πεντήκοντα· ἐξ ὧν **κατήγαγον** εἰς τὰς ἀποικίας ἢ ἀπέπεμψα εἰς τὰς ἰδίας πόλεις, ἐκπληρωθέντων[2] τῶν ἐνιαυτῶν τῆς στρατείας, μυριάδας ὀλίγῳ **πλείους** ἢ τριάκοντα, καὶ αὐτοῖς πᾶσιν ἀγροὺς ἐμέρισα ἢ χρήματα ἀντὶ δωρεῶν στρατείας ἔδωκα[3]. Ναῦς εἷλον ἑξακοσίας, ἐκτὸς εἴ τινες ἥσσονες ἢ τριήρεις ἐγένοντο[4]. Διὰ τὰς ἐμὰς πράξεις ἢ τὰς τῶν πρεσβευτῶν μου, ἃς αἰσίοις οἰωνοῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν κατώρθωσα, πεντηκοντάκις καὶ πεντάκις **ἐψηφίσατο** ἡ σύνκλητος θεοῖς δεῖν θύεσθαι. Ἡμέραι οὖν αὐταὶ ἐκ συνκλήτου δόγματος ἐγένοντο ὀκτακόσιαι ἐνενήκοντα.

AUGUSTO, *Res gestae.*

[1] = ἐγγὺς
[2] genitivo plurale maschile participio aoristo passivo I di ἐκπληρόω.
[3] I persona singolare indicativo aoristo cappatico attivo di δίδωμι.
[4] In sostanza il calcolo riguarda solo le navi di rilevanti dimensioni.

### Questionario

A. φονεύσαντας: che valore ha? In base a quali considerazioni puoi affermarlo?
B. τειμωρησάμενος… ἐνείκησα… νεικήσας… πολειτῶν: la grafia di questi termini presenta un dittongo anomalo al posto di una vocale semplice: riscrivili nella forma usuale.
C. κατήγαγον: come si forma questo tema temporale?
D. πλείους: scrivi la forma alternativa non contratta.
E. ἐψηφίσατο: coniuga interamente il verbo nello stesso tempo, modo e diatesi.
F. A quali eventi fa riferimento il primo periodo?
G. Quali elementi caratterizzanti dell'ideologia del principato augusteo si ritrovano nel testo?

LICEO STATALE
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## XIII edizione

**13 aprile 2024**

### III Sezione (I Liceo Classico)

### Il proemio dell'*Iliade* suscita grandi attese

*Eustazio, dotto monaco costantinopolitano, divenuto poi arcivescovo di Tessalonica, dove morì nel 1194, ha lasciato fra le sue opere un prezioso commento ai due poemi omerici, che attinge ampiamente da quelli, oggi perduti, dei filologi alessandrini.*

**Σημείωσαι** δὲ ὅτι καὶ ἐνταῦθα Ὅμηρος τήν τε ἑαυτοῦ ποίησιν σεμνύνει καὶ τὸν ἀκροατὴν δὲ πάλιν παραμυθεῖται, ὡς, εἰ καὶ ἀπὸ τοῦ ἐσχάτου ἤρξατο ἔτους, ὅμως καὶ μεγάλα καὶ πολλά τινα ἐρεῖ καὶ οὐ μικροπρεπὴς αὐτῷ ἔσται ἡ ποίησις. Καὶ ὑποβάλλει ἐλπίδας ὡς οὐδὲ περὶ τυχόντων ἐρεῖ προσώπων, ἀλλὰ ἡρώων, καὶ τούτων πολλῶν, **μεμνήσεται**, ὥστε καὶ πράξεων ἡρωϊκῶν τῶν ἐν Τρωσί τε καὶ Ἕλλησι. Διὰ τοῦτο γὰρ καὶ προανεφώνησεν, ὡς **εἴρηται**, ὅτι μυρία τοῖς Ἀχαιοῖς ἡ τοῦ Ἀχιλλέως μῆνις ἄλγεα ἔθηκεν. Ἐν τούτοις δὲ καὶ ψόγος μήνιδος εὐφυῶς ὑποφαίνεται· ὡς πάνυ γὰρ αὕτη χειρίστη, εἴπερ διὰ μὲν ὁμόνοιαν σωτηρία πολυετὴς ἦν τοῖς Ἀχαιοῖς, διὰ δὲ τὴν ὀλιγοήμερον[1] Ἀχιλλέως μῆνιν τοσαῦτα ἐπιγεγόνασι κακά. **Φευκτέον ἄρα τὴν μῆνιν**, ἧς τὴν φαυλότητα τοῖς προθύροις ἐπέγραψε τῆς Ἰλιάδος ὁ ποιητής.
Εἰ δὲ μὴ μόνον ἥρωες Ἄϊδι παρεπέμφθησαν διὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν, ὅμως **ἐκ μέρους** τοῦ τῶν ἰφθίμων ψυχῶν τῶν ἡρώων καὶ τοὺς κοινοὺς νοητέον ἀνθρώπους. Τάχα δὲ καὶ ἅπαντας τοὺς Ἀχαιοὺς συλλαβών, ἐπαίνου νόμῳ, ἥρωας λέγει, ἀποσεμνύνων τοὺς θανόντας ἐν τῇ μάχῃ καὶ παραθαρρύνων παιδευτικῶς καὶ ἑτέρους εἰς ὅμοια, **ὡς** θεῖον ὂν καὶ μακαριστὸν τὸ οὕτω θνήσκειν, καὶ ἡρωϊκόν.

Eustazio di Tessalonica, Παρεκβολαὶ εἰς τοῦ Ὁμήρου Ἰλιάδα, I, v. 4.

[1] ὀλιγοήμερος, -ον "che dura pochi giorni"

### Questionario

A. Σημείωσαι: analizza questa forma, che ritorna più volte nel commento di Eustazio come segno di attenzione rivolto al lettore.
B. μεμνήσεται: analizza questa forma.
C. εἴρηται: analizza questa forma.
D. Φευκτέον ἄρα τὴν μῆνιν: quale differenza presenta rispetto alla perifrastica passiva latina?
E. ἐκ μέρους: a quale figura retorica si allude quando si precisa come il sostantivo ἥρωες nel proemio omerico abbia un senso più ampio?
F. ὡς: che funzione ha qui?
G. Quali aspetti moralistici il testo individua nei versi di Omero?

LICEO STATALE
DANTE ALIGHIERI
RAVENNA

# Piccolo Agone Placidiano

## XIII edizione

**13 aprile 2024**

### IV SEZIONE (II Liceo Classico)

**La cosmologia atomista di Epicuro**

*Il presbitero e martire Ippolito di Roma (II sec.) guidò a partire da posizioni rigoriste un'opposizione, se non un vero e proprio scisma, contro i papi Zefirino, Callisto, Urbano I e infine Ponziano, con cui peraltro condivise la condanna ai lavori forzati e la morte nelle miniere della Sardegna sotto Massimino il Trace. A lui si attribuiscono, senza assoluta sicurezza, vari scritti, fra cui una* Confutazione di tutte le eresie, *originalmente in 10 libri. Il primo di questi, dedicato alle filosofie pagane, fu conosciuto isolatamente con il titolo di* Φιλοσοφούμενα, *attribuito all'alessandrino Origene.*

Ἐπίκουρος δὲ σχεδὸν ἐναντίαν πᾶσι δόξαν ἔθετο. Ἀρχὰς μὲν τῶν ὅλων ὑπέθετο **ἀτόμους** καὶ κενόν. Ἐκ δὲ τῶν ἀτόμων συνελθόντων γενέσθαι καὶ τὸν θεόν, καὶ τὰ στοιχεῖα πάντα, καὶ τὰ ἐν αὐτοῖς πάντα καὶ ζῷα καὶ ἄλλα, **ὡς** μηδὲν γίνεσθαι μήτε συνεστάναι, εἰ μὴ ἐκ τῶν ἀτόμων εἴη.
Τὸν δὲ θεὸν ὁμολογῶν εἶναι ἀΐδιον καὶ ἄφθαρτόν φησι μηδενὸς προνοεῖν, καὶ ὅλως πρόνοιαν μὴ εἶναι μηδὲ εἱμαρμένην, ἀλλὰ πάντα κατὰ αὐτοματισμὸν γίνεσθαι. Καθῆσθαι γὰρ τὸν θεὸν ἐν τοῖς **μετακοσμίοις**, οὕτω καλουμένοις ὑπ᾿ αὐτοῦ· ἔξω γάρ τι τοῦ κόσμου οἰκητήριον τοῦ θεοῦ ἔθετο εἶναι, λεγόμενον τὰ μετακόσμια, ἥδεσθαί τε καὶ ἡσυχάζειν ἐν τῇ ἀκροτάτῃ εὐφροσύνῃ, καὶ μήτε αὐτὸν πράγματα ἔχειν μήτε ἄλλοις παρέχειν.
**Οἷς** ἀκόλουθον καὶ τὸν περὶ τῶν σοφῶν ἀνδρῶν πεποίηται λόγον, λέγων τὸ τέλος τῆς σοφίας εἶναι ἡδονήν. **Ἄλλοι δὲ ἄλλως** τὸ ὄνομα τῆς ἡδονῆς ἐξέλαβον· οἱ μὲν γὰρ κατενόησαν τὰς ἐπιθυμίας, οἱ δὲ τὴν ἐπὶ τῇ ἀρετῇ ἡδονήν.
Τὰς δὲ ψυχὰς τῶν ἀνθρώπων λύεσθαι ἅμα τοῖς σώμασιν, ὥσπερ καὶ συγγεννᾶσθαι αὐτοῖς τίθεται, αἷμα γὰρ αὐτὰς εἶναι, οὗ ἐξελθόντος ἢ τραπέντος ἀπόλλυσθαι ὅλον τὸν ἄνθρωπον· ᾧ ἀκολουθεῖ μήτε κρίσεις εἶναι ἐν Ἅιδου, μήτε δικαστήρια, ὡς, ὅ τι ἂν δράσῃ τις ἐν τῷ βίῳ τούτῳ καὶ διαλάθῃ, ἀνεύθυνον εἶναι παντελῶς.

IPPOLITO, Κατὰ πασῶν αἱρέσεων ἔλεγχος.

**Questionario**

A. ἀτόμους: puoi chiarire l'etimologia del termine?
B. μετακοσμίοις: con quale termine latino sono comunemente indicati?
C. Οἷς: che funzione ha?
D. Ἄλλοι δὲ ἄλλως: puoi chiarire questa costruzione?
E. In quali punti del testo si può cogliere l'atteggiamento dello scrittore verso queste dottrine?
F. Quale influenza ebbero le dottrine epicuree nel mondo romano, anche dal punto di vista letterario?